λήσαμεν ὑπὸ τούτων αἰτούμενοι πεισθῆναι, τὸ δὲ αὐτὸ τοῦτο παρακαλοῦμεν ⟨ὑμᾶς⟩ μὴ πρὸ τῆς κρίσεως μισοπονηρεῖν, ἀλλ' ἐν τῇ κρίσει τιμωρεῖσθαι τοὺς τὴν ὑμετέραν νομοθεσίαν ἀφανίζοντας· οὕτως γὰρ ἐννόμως διοικηθήσεται τὰ κατὰ τὴν πολιτείαν πάντα.

31.

## ΚΑΤΑ ΦΙΛΩΝΟΣ ΔΟΚΙΜΑΣΙΑΣ.

Ὤιμην μέν, ὦ βουλή, οὐκ ἄν ποτ' εἰς τοῦτο τόλμης 1
Φίλωνα ἀφικέσθαι, ὥστε ἐθελῆσαι ὡς ὑμᾶς ἐλθεῖν δοκι-
μασθησόμενον· ἐπειδὴ δὲ οὐχ ἕν τι μόνον ἀλλὰ πολλὰ
τολμηρός ἐστιν, ἐγὼ δὲ ὀμόσας εἰσῆλθον εἰς τὸ βουλευ-
τήριον τὰ βέλτιστα βουλεύσειν τῇ πόλει, ἔνεστί τε ἐν 2
τῷ ὅρκῳ ἀποφανεῖν εἴ τίς τινα οἶδε τῶν λαχόντων ἀνε-
πιτήδειον ὄντα βουλεύειν, ἐγὼ τὴν κατὰ τουτουὶ Φί-
λωνος ποιήσομαι|κατηγορίαν, οὐ μέντοι γε ἰδίαν ἔχθραν
οὐδεμίαν μεταπορευόμενος, οὐδὲ τῷ δύνασθαι καὶ εἰω-
θέναι λέγειν ἐν ὑμῖν ἐπαρθείς, ἀλλὰ τῷ πλήθει τῶν
ἁμαρτημάτων αὐτοῦ πιστεύων, καὶ τοῖς ὅρκοις οἷς ὤμοσα
ἐμμένειν ἀξιῶν. γνώσεσθε μὲν οὖν ὅτι οὐκ ἀπὸ ἴσης 3
παρασκευῆς ἐγώ τε τοῦτον ἐλέγξω οἷός ἐστι καὶ οὗτος
ἐπεχείρησε πονηρὸς εἶναι· ὅμως ⟨δ'⟩ εἴ τι ἐγὼ ἐλλείποιμι
τῷ λόγῳ τῆς κατηγορίας, οὐκ ἂν δίκαιος εἴη οὗτος διὰ
τοῦτο ὠφεληθῆναι, ἀλλὰ μᾶλλον, ὅ τι ἱκανῶς διδάξαιμι,
ἐκ τούτων ἀποδοκιμασθῆναι. ἐνδεῶς μὲν γὰρ διὰ τὴν 4
ἀπειρίαν [πάντων τῶν τούτῳ πεπραγμένων], ἱκανῶς δὲ
διὰ τὴν περὶ αὐτὸν κακίαν εἰρηκὼς ἂν εἴην. ἀξιῶ δὲ
καὶ ὑμῶν οἵτινες δυνατώτεροι ἐμοῦ εἰσι λέγειν, ἀποφῆ-
ναι μείζω ὄντα αὐτοῦ τὰ ἁμαρτήματα, καὶ ἐξ ὧν ἂν
ἐγὼ ὑπολίπω, πάλιν αὐτοὺς περὶ ὧν ἴσασι κατηγορῆσαι